ταμίαν τε πάντων πιστόν, ἐν δ᾽ ἀνακτόροις
θεοῦ καταζῇ δεῦρ᾽ ἀεὶ σεμνὸν βίον.
Κρέουσα δ᾽ ἡ τεκοῦσα τὸν νεανίαν
Ξούθῳ γαμεῖται συμφορᾶς τοιᾶσδ᾽ ὕπο.
ἦν ταῖς Ἀθήναις τοῖς τε Χαλκωδοντίδαις,
οἳ γῆν ἔχουσ᾽ Εὐβοΐδα, πολέμιος κλύδων·
ὃν συμπονήσας καὶ ξυνεξελὼν δορὶ
γάμων Κρεούσης ἀξίωμ᾽ ἐδέξατο,
οὐκ ἐγγενὴς ὤν, Αἰόλου δὲ τοῦ Διὸς
γεγὼς Ἀχαιός· χρόνια δὲ σπείρας λέχη
ἄτεκνός ἐστι, καὶ Κρέουσ᾽· ὧν οὕνεκα
ἥκουσι πρὸς μαντεῖ᾽ Ἀπόλλωνος τάδε
ἔρωτι παίδων. Λοξίας δὲ τὴν τύχην
εἰς τοῦτ᾽ ἐλαύνει, κοὐ λέληθεν, ὡς δοκεῖ.
δώσει γὰρ εἰσελθόντι μαντεῖον τόδε
Ξούθῳ τὸν αὑτοῦ παῖδα, καὶ πεφυκέναι
κείνου σφε φήσει, μητρὸς ὡς ἐλθὼν δόμους
γνωσθῇ Κρεούσῃ, καὶ γάμοι τε Λοξίου
κρυπτοὶ γένωνται παῖς τ᾽ ἔχῃ τὰ πρόσφορα.
Ἴωνα δ᾽ αὐτόν, κτίστορ᾽ Ἀσιάδος χθονός,
ὄνομα κεκλῆσθαι θήσεται καθ᾽ Ἑλλάδα.
ἀλλ᾽ εἰς δαφνώδη γύαλα βήσομαι τάδε,
τὸ κρανθὲν ὡς ἂν ἐκμάθω παιδὸς πέρι.
ὁρῶ γὰρ ἐκβαίνοντα Λοξίου γόνον
τόνδ᾽, ὡς πρὸ ναοῦ λαμπρὰ θῇ πυλώματα
δάφνης κλάδοισιν. ὄνομα δ᾽, οὗ μέλλει τυχεῖν,
Ἴων᾽ ἐγὼ . . πρῶτος ὀνομάζω θεῶν.

ΙΩΝ. ἅρματα μὲν τάδε λαμπρὰ τεθρίππων·
ἥλιος ἤδη λάμπει κατὰ γῆν,
ἄστρα δὲ φεύγει πῦρ τόδ᾽ αἰθέρος
εἰς νύχθ᾽ ἱεράν,
Παρνησιάδες δ᾽ ἄβατοι κορυφαὶ
καταλαμπόμεναι τὴν ἡμερίαν

59. χαλκοδοντίδαις libri, χαλκωδοντιάδαις Eustathius. 81. ἐγώ B ἐγώγε C 84. πῦρ τόδ᾽ B πυρὶ τῷδ᾽ C 87. ἡμερίαν] Canterus, ἥμεραν libri.